παρευτρέπισται δ᾽ οὐδὲν ἄλλο πλὴν πυροῦν
Κύκλωπος ὄψιν· ἀλλ᾽ ὅπως ἀνὴρ ἔσει.
ΧΟ. πέτρας τὸ λῆμα κἀδάμαντος ἕξομεν.
χώρει δ᾽ ἐς οἴκους, πρίν τι τὸν πατέρα παθεῖν
ἀπάλαμνον· ὥς σοι τἀνθάδ᾽ ἐστὶν εὐτρεπῆ.
ΟΔ. Ἥφαιστ᾽, ἄναξ Αἰτναῖε, γείτονος κακοῦ
λαμπρὸν πυρώσας ὄμμ᾽ ἀπαλλάχθηθ᾽ ἅπαξ,
σύ τ᾽, ὦ μελαίνης Νυκτὸς ἐκπαίδευμ᾽, Ὕπνε,
ἄκρατος ἐλθὲ θηρὶ τῷ θεοστυγεῖ,
καὶ μὴ ᾽πὶ καλλίστοισι Τρωικοῖς πόνοις
αὐτόν τε ναύτας τ᾽ ἀπολέσητ᾽ Ὀδυσσέα
ὑπ᾽ ἀνδρός, ᾧ θεῶν οὐδὲν ἢ βροτῶν μέλει.
ἢ τὴν τύχην μὲν δαίμον᾽ ἡγεῖσθαι χρεών,
τὰ δαιμόνων δὲ τῆς τύχης ἐλάσσονα.
ΧΟ. λήψεται τὸν τράχηλον
ἐντόνως ὁ καρκίνος
τοῦ ξένων δαιτυμόνος· πυρὶ γὰρ τάχα
φωσφόρους ὀλεῖ κόρας.
ἤδη δαλὸς ἠνθρακωμένος
κρύπτεται εἰς σποδιάν, δρυὸς ἄσπετον ἔρνος.
ἀλλ᾽ ἴτω Μάρων, πρασσέτω·
μαινομένου ᾽ξελέτω βλέφαρον
Κύκλωπος, ὡς πίῃ κακῶς.
κἀγὼ τὸν φιλοκισσοφόρον Βρόμιον
ποθεινὸν εἰσιδεῖν θέλω,
Κύκλωπος λιπὼν ἐρημίαν.
ἆρ᾽ ἐς τοσόνδ᾽ ἀφίξομαι;
ΟΔ. σιγᾶτε πρὸς θεῶν, θῆρες, ἡσυχάζετε,
συνθέντες ἄρθρα στόματος· οὐδὲ πνεῖν ἐῶ,
οὐ σκαρδαμύσσειν οὐδὲ χρέμπτεσθαί τινα,
ὡς μὴ ᾽ξεγερθῇ τὸ κακόν, ἔστ᾽ ἂν ὄμματος
ὄψις Κύκλωπος ἐξαμιλληθῇ πυρί.
ΧΟ. σιγῶμεν ἐγκάψαντες αἰθέρα γνάθοις.

---

598. ἀπάλαμνον] Canterus, ἀπαλλαγμόν libri. 617. μαινομένου ᾽ξελέτω] Hermannus, μαινόμενος ἐξελέτω libri.